τε, ἢ ἀναλογίᾳ συνιςάμενα. Μέτιθι τὲς τρεῖς διαλόγες τῆ Πλάτωνος τὸν Φαῖδρον, τὸ Συμπόσιον, ἢ τὸν Ἱππίαν τὸν μείζονα. Ἐκ τέτων γὰρ φανερὸν, ὅτι τὸ κατὰ Πλάτωνα κάλλος χάριςτις ἐςὶν, ἡ τὴν ἐν ἀνθρώπῳ ἁρμονίαν ὁράσει τε, ἢ ἀκοῇ, ἢ λόγῳ κινῦσα. Ἀλλὰ ἢ ὁ Σωκράτης τὰ καλὰ κατὰ μετοχὴν εἶναι τῆς αἰωνίε ἢ καλλίςης ἰδέας ἔφασκε.

## Προτάσεις αἱ ἐπισημότεραι, αἱ ἐπὶ τὸ Α΄. Κεφ. ἀναφερόμεναι.

### Πρότ. Α΄ ἢ Β΄.

„Τὸ αὐτὸ ἅμα εἶναι καὶ μὴ εἶναι ἀδύνατον. Καὶ τὸ αὐτὸ ὁ συνίςαται „ἰδιώμασι τοῖς ὑπ᾽ ἀλλήλων ἀναιρεμένοις.

### Σχόλιον.

Καλῦνται τὰ ἀξιώματα ταῦτα παρὰ τοῖς Σχολαςικοῖς ἀρχὴ τῆς ἀντιφάσεως, δἰ ὧν οἱ θρασυνόμενοι ἐν τῷ ἅπαντα ἀποφάσκειν ἢ τὰ προδηλότατα ἀπελέγχονται. Μεγίςη δὲ τέτων ἡ χρῆσις πρός τε κατασκευὴν τῆς τῶν ὄντων ὑπάρξεως, ἢ πρὸς ἔρευναν καὶ ἐπίκρισιν τῆς αὐτῶν ὀυσίας. Τῷ δὲ δευτέρῳ χρώμεθα, ἐπὶ Θεῦ ἢ πνευμάτων διαπιςεμενοι τὸ ἀσώματον, ἀποδεικνῦντες ἀμέλει τὴν δύναμιν τῦ νοεῖν, τὴν οὐσιώδη τῷ πνεύματι, ἀντιφάσκειν τῇ ςερεότητι τῇ ὀσιωδῶς προσούσῃ τῷ σώματι. Ἐχρήσατο δὲ τῷ ἐπιχειρήματι ἢ Καρτέσιος ἐν ταῖς μελέταις, ἢ Στιλλιγφλέτιος θεολόγος Ἄγγλος (1) κατὰ Λωκίε γράφων, τῦ δυνατὴν εἶναι οὐσίαν σωματικὴν τὴν αὐτὴν καὶ νοητικὴν διϊσχυριζομένε.

### Πρότ. Γ΄.

„Μηδὲν ἐκ μηδενός· τετέςιν ὀδὲν γίνεται ἄνευ αἰτίας, ἐν ᾗ εἰδικῶς, „ἢ ἐξόχως εἴη περιεχόμενον.

### Σχόλ.

Οἱ πάντες συνᾴδυσι. Δεκάδι ἐπιχειρημάτων ἐν τῷ Α΄. Βιβλ. ὁ Λυκρέτιος τῦτο δείκνυσι (2). Ἀλλὰ μήπε τὸ γινόμενον ἐξ αἰτίας, ἐν ᾗ ἐξόχως περιέχεται, ἐκ τῦ μηδενός; οὐδαμῶς. Φασὶ γὰρ οἱ Σχολαςικοὶ τὸ Α ἐν τῷ Β εἰδικῶς περιέχεσθαι, ἐὰν ὁλοσχερὴς ἡ τῦ Α οὐσία ἐν τῷ Β ἐμπεριέχηται, οἷά πυ

---

(1) Ὅρα τὰς σημειώσ. τῦ Ἀκόςα εἰς §. β΄. Κεφ. Γ΄. Βιβλ. Δ΄. περὶ διαν. ἀνθρ.

(2) Ἀπὸ ἔπυς 160. μέχρι 265.

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΣΗ: ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε. Γραφής Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τὸν κόσμον ἐν τῷ Θεῷ ἀφραίνων ὑπείληφεν ὁ Σπινόζας. Φασὶ δὲ ἐξόχως, ἣν τηλικαύτη τῷ Β ἐνῆ τελειότης, ϗ τοσαύτη δύναμις, ὡς τὰς τελειότητας τȣ͂ Α ὑψηλοτέρῳ ϗ κρείττονι λόγῳ περιέχειν δύνασθαι ϗ παράγειν. Φαμὲν οὖν ὡς ἐκ τȣ͂ μηδενὸς ȣ̓κ ἔςι τὸ ἕνα δὴ τρόπον τῶν εἰρημένων ἐν τῇ ἰδίᾳ αἰτίᾳ περιεχόμενον. Τοῖς τοίνυν ἀρχαίοις τὰ δαιμόνια ἐκ τȣ͂ Θεȣ͂ ἐξερρυηκέναι διεπρεσβεύετο· ἡ δὲ ὕλη ἀπ᾽ αἰῶνος ἐτίθετο, μὴ συνιδεῖν ἔχȣσι ταύτην, ὥσπερ ϗ τὰ λοιπὰ, ὅσα δυνατὰ ἐν τῷ Θεῷ τȣ͂λάχισον ἐξόχως περιέχεσθαι, τȣ͂θ᾽ ὅπερ ἡμεῖς πάνυ ὀρθῶς περὶ Θεȣ͂ πρεσβεύομεν, ἐν ᾧ πᾶσα τελειότης ϗ ὑφεςῶσα ϗ δυνατὴ κρείττονι ϗ ὑψηλοτέρῳ λόγῳ ἔνεςι. Τὸ δὲ τὸν κόσμον ἐκ τοῦ μηδενὸς δημιȣργηθῆναι, εἰδικῶς ἐκληπτέον.

## Πρότ. Δ΄.

„Ἐὰν ἐκ δοθέντος, ἢ ληφθέντος, ἢ ὁποιασȣ͂ν ὑποθέσεως, „ὀρθῆ τε ϗ ἀναγκαίως ἐχȣ́σῃ ἀκολȣθίᾳ τὰ ὑπ᾽ ἀλλήλων ἀναιρȣ́μενα ἕπη„ται, τὸ δοθὲν, ἢ ληφθὲν, ἢ ἡ ὁποιαδήποτε ὑπόθεσις ἀδυνά„τως ἔξει.

## Δεῖξις.

Εἰ γὰρ ἕπεται τοιαῦτα, ἐν ἐκείνοις ἔςαι περιεχόμενα, ἐξ ὧν ἕπεται (Πρότ. Γ΄.). Ἀλλὰ ἐν τῷ αὐτῷ τὰ ἀμοιβαδὸν ἀναιρȣ́μενα ȣ̓κ ἐμπεριέχεται (Πρότ. Β΄.). Τὸ ἄρα δοθὲν, ἢ ληφθὲν, ἢ κτ. ἀδυνάτως ἔχει (ὁρ. θ΄. ϗ ϛ΄.).

## Σχόλ.

Δεῖ δὴ ἀτενῶς προσέχειν ϗ τοῖς δοκȣ͂σιν ἀναιρεῖσθαι, εἰ τῷ ὄντι ὑπ᾽ ἀλλήλων εἰσὶν ἀναιρȣ́μενα ἐξετάζοντας, ϗ τῇ ἀκολȣθίᾳ, εἰ ἐκ τῶν δοθέντων δικαίῳ λόγῳ ἐπιφέρεται. Ἄλλως γὰρ πολλὰ ἐπισφαλῆ ἀναφυήσεται δόγματα. Οἷον δὴ Καρτέσιος ϗ Στιλλιγγφλεέτιος ᾤοντο, δοθείσης οὐσίας ἐκτεταμένης ἅμα τῆς αὐτῆς ϗ νοητικῆς, ἕψεσθαι ταύτην κατὰ τὸ αὐτὸ ϗ ἀδρανῆ πεφυκέναι, ϗ δραςήριον, ϗ ςερεὰν, ϗ διαχωρητὴν, τῇ νοήσει δηλονότι, κἀκ τȣ́των ἐπέφερον, τὸν νȣ͂ν ȣ̔́τω διακεκρίσθαι τȣ͂ σώματος, ὡς μηδὲ θείᾳ δυνάμει δυνατὸν ὅλως εἶναι σῶμα εὔμοιρȣν νοητικῆς δυνάμεως. Ἀλλ᾽ ȣ̓χ ὡσαύτως ἐπέβαλε Λώκιος. Οὗτος γὰρ ἢν φρονῶν, μὴ μᾶλλον ἀντικεῖσθαι τῇ τȣ͂ σώματος φύσει τὴν διανόησιν, ἢ τὴν κίνησιν, ἐξ ȣ̔͂ ϗ σώματα ὥσπερ κινήσεως, ȣ̔́τωτοι ϗ διανοήσεως φύσει εὐμοιρȣ͂ντα δυνατὰ εἶναι ἐδόξαζεν. Οὕτω δὲ δόξης ἔχε

ϗ ὁ Ὠββέσιος (1), ὃς ϗ τὴν νοερὰν ἐπιβολὴν κίνησίν τινα εἶναι βόλεται ἀπὸ τῶν ἐκτὸς ἀντικειμένων ταῖς αἰσθήσεσι γινομένην, τὴν δὲ ἀντενέργησιν τȣ͂ τε ἐγκεφάλȣ ϗ τῆς καρδίας, εἶναι τὴν ἐπανάσκεψιν, ἤτοι τὴν προσαντίληψιν, ὡς ἀποκαλεῖ Λεϊβνίτιος.

## Πρότ. Ε΄.

„Δοθὲν, ἢ ληφθὲν ὡς ἀδύνατον ȣ̓δέποτε ἔχειν χρεὼν, εἰ μὴ πρὶν φθάσῃ δειχθῆναι τὰ ἐξ αὐτῶν ἑπόμενα ἀδυνάτως ἔχειν. Καθ᾿ αὑτὸ δῆλον.

## Σχόλιον.

Οἷον εἴτις εἴποι ἀδύνατον εἶναι τὴν ὕλην ἀπ᾿ αἰῶνος ὑφεϛηκέναι, ὀφείλει πρότερον δεῖξαι ἐκ τῆς ἀπ᾿ αἰῶνος δοθείσης ὕλης ἕπεσθαι ἀντιφάσκοντα. Καὶ δυνατὸν ἄρα ἡγητέον τὸ πρᾶγμα, ἕως ȣ̓ ἀποδειχθῇ ὅτι ἀδύνατον.

## Πρότ. ϛ΄.

„Πρόβλημα δυνατὸν ἐϛὶν, ἐὰν δειχθῇ τίνι λόγῳ αὐτὸ ἔχει γενέσθαι.

## Δεῖξις.

Ἢν γὰρ δειχθῇ τίνι δήποτε λόγῳ ἔχει γενέσθαι, ἀσφαλῶς εἰσόμεθα ἐξ αὐτȣ͂ μηδαμῶς ἕπεσθαι τὰ μαχόμενα. Ἄρα δυνατὸν ἔϛαι (Πρότ. Ε΄.).

## Σχόλιον.

Εἴτις ἄρα τῶν ἀμφὶ Καρτέσιον δείξειε, τίνι λόγῳ τὰ κτήνη ϗ ψυχῆς ἄνευ μόνοις τοῖς μηχανικοῖς νόμοις τὰς ἰδίας ἐνεργείας ἀνύȣσιν, ȣ̓͂τος τὸ πρόβλημα, ὅτι τὰ κτήνη ψιλά ἐϛι μηχανήματα, πειθανὸν ἀναδείξει. Εἴτις ἀποδείξῃ τίνι λόγῳ τὸ θεῖον παραγαγεῖν τὴν ὕλην δεδύνηται, τὴν ὕλην δεδημιȣργῆσθαι, ȣ̓͂τος πειθανὸν ϛήσει. Ἀλλ᾿ ȣ̓ παρὰ τȣ͂το κατασκευάσει ϗ ȣ̓͂τως ἔχειν τῷ ὄντι τὰ πράγματα. Οὐ γὰρ ὅ,τι δυνατὸν ϗ ἐϛί· Δεῖ γȣ͂ν ἄλλων λόγων, ϗ τȣ͂ δυνατȣ͂ προκατασκευασθέντος, εἰς κατασκευὴν τῆς ὑπάρξεως.

## Πρότ. Ζ΄.

„Οὐδέν ἐϛιν ἄνευ λόγȣ ἀποχρῶντος, οὐσίας, ὑπάρξεως, δυνατȣ͂, κτ.

## Σχόλιον.

Ἔργον ȣ̓͂ν φιλοσόφȣ ἐϛὶ τȣ̀ς ἀποχρῶντας λόγȣς ἐξιχνεύειν· τὸ δὲ τοῖς φαινομένοις ἐπαρκεῖσθαι τȣ͂ χύδην ὄχλȣ.

---

(1) Ἐν τῷ Λεβιαθανὲ μέρ. Α΄. Κεφ. Β΄. ϗ Γ΄.



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΜΗΜΑ ΦΙΛΟΣΟΦΙΑΣ ... ΕΡΓΑΣΤΗΡΙΟ ... ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΡΙΔΗΣ
Ε.Υ.Δ της Κ.Π. ΙΩΑΝΝΙΝΑ 2006

## Πρότ. Η'.

„Ἐπὶ τῶν γεγονότων ὁ ἀποχρῶν λόγος τῆς ὑπάρξεως ἐστὶν ἐν τῇ αἰτίᾳ, παρ᾽ ἧς εἰσίν· ὁ δὲ τῆς οὐσίας ἀμέσως μὲν ἐν τοῖς οὐσιώδεσι, πορρωτέρω δὲ ἐν τῇ αὐτῇ αἰτίᾳ. Ταύτητοι ἐν οἱᾳδήποτε αἰτίᾳ οὐχ ὅπως τὸν λόγον τῆς ὑπάρξεως τοῦ αἰτιατοῦ περιέχεσθαι δέον, ἀλλὰ καὶ τὸν τῆς οὐσίας, ἤτοι τὰς τελειότητας, ἢ εἰδικῶς, ἢ γοῦν ἐξόχως (ἐκ τῆς Γ'. Προτ.).

## Πρότ. Θ'.

„Ὁ ἀποχρῶν λόγος τοῦ δυνατὸν εἶναι ἐσωτερικῶς τι, ἐν τοῖς αὐτοῦ οὐσιώδεσι κεῖται, τοῦ δὲ ἐξωτερικῶς δυνατὸν εἶναι, ἐν τῇ ἐξωτερικῇ αἰτίᾳ (ὁρ. η'.). Τὸ δ᾽ αὐτὸ ῥητέον καὶ περὶ τοῦ λόγου τοῦ ἀδυνάτου. Ὁ δ᾽ ἀποχρῶν λόγος, δι᾽ ὃν ἐν τῷ δοθέντι ἐστί τι δυνατὸν, καὶ ἐν αὐτῷ τῷ ὄντι ἐστὶ, καὶ ἐν τῇ ἐξωτερικῇ αἰτίᾳ.

## Σχόλιον.

Οἷον ὁ λέγων τὴν δοθεῖσαν ὕλην διαιρετὴν εἶναι ἐπ᾽ ἄπειρον, τὸν λόγον τῆς δυνατῆς διαιρέσεως καὶ ἐν τῇ ὕλῃ αὐτῇ (ὅπερ ἐστὶ τὸ δυνατὸν ἐσωτερικῶς), καὶ ἐν αἰτίᾳ τινὶ ἐξωτερικῇ, οἷον ἐν τῷ Θεῷ (ὅπερ ἐστὶ τὸ δυνατὸν ἐξωτερικῶς) ἀναθέσθαι ὀφείλει. Ἀλλὰ γὰρ ἐφ᾽ ᾧ ἡ ὕλη ἐσωτερικῶς διαιρετὴ ᾖ ἐπ᾽ ἄπειρον, ἀνάγκη πᾶσα περιέχειν αὐτὴν μέρη ἄπειρα ἀλλήλων διακεκριμένα· ταῦτα γὰρ μόνον διαχωρισθῆναι δύναται (ὁρ. λϛ'. καὶ λζ'.). Ὁ ἄρα δείξας ἐν ὁποιῳδήποτε μέρει τῆς ὕλης, μέρη ἄπειρα ἀλλήλων διακεκριμένα μὴ δύνασθαι περιέχεσθαι, τὸ ἐσωτερικῶς δυνατὸν τῆς ἐπ᾽ ἄπειρον διαιρέσεως ἀνατρέψει, καὶ δὴ καὶ τὸ ἐξωτερικῶς, τὸ ἐκείνου ἀπηρτημένον (ὁρ. η'.).

## Πρότ. Ι'.

„Τὸ μὴ ὂν οὐκ ἂν περιέχοι λόγον ἀποχρῶντα τινά.

## Σχόλιον.

Τῷ τοιῷδε ἀξιώματι χρῶνται οἱ Ἐπικούρειοι καὶ οἱ Νευτώνειοι δεικνῦντες ὅτι ἄπειρον τὸ διάστημα. Ὑπὸ τίνος γὰρ, φασὶ, περατοῦται; Ἀπαντῶσι τινὲς ὑπὸ τοῦ μηδενός. Οὐκοῦν, ἐκεῖνοι, οὐδὲ περατοῦται ὅλως. Ἀλλὰ γὰρ ἧπου μακρῷ διαφέρει τὸ ὑπὸ τοῦ μηδενὸς περατοῦσθαι τοῦ εἰς τὸ μὴ ὂν ἀπολήγειν. Ἐπεὶ δὲ τοῦτο ἡμῖν οὐ περινοεῖται, ἅτε δὴ εἰθισμένοις τὰ τῶν πραγμάτων πέρατα ταῖς τῶν ἄλλων ἀρχαῖς περιορίζειν, οὐδὲν κωλύει τὴν τοῦ παντὸς ἔκτασιν ἀποκαλεῖν ἄπειρον (ὁρ. ξ'.).

ΙΩΑΝΝΙΝΑ 2006

## Πρότ. ΙΑ΄.

„ Ἅπαν ὄν, ἢ ἐνδεχόμενον ἐστὶν, ἢ ἀναγκαῖον.

### Δεῖξις.

Ἅπαν ὂν ἢ γέγονεν, ἢ οὐ γέγονεν· μέσον οὐδέν. Εἰ μὲν οὖν, ἐνδεχόμενον (ὁρ. ιζ΄.)· ἢν δὲ μὴ, ἀναγκαῖον (ὁρ. ια΄.). Ἄρα κξ.

## Πρότ. ΙΒ΄.

„ Τὰ δυνατὰ κατὰ μὲν τὰς νοητὰς οὐσίας (ὁρ. κη΄.) ἀναγκαῖα· ᾗ δὲ δυ-
„ νατὰ ἐστὶν, ἐνδεχόμενα.

### Δεῖξις.

Αἱ γὰρ νοηταὶ οὐσίαι εἰσὶν ἀΐδιοι (ὁρ. κη΄.)· τὸ δὲ αἰώνιον καὶ ἀναγκαῖον (ὁρ. ια΄.). Ο. Η. τὸ Α΄. Εἶτα ἐπεὶ ᾗ δυνατὰ τὰ τοιαῦτα ἤρτηται ἀπὸ ἐξωτερικοῦ αἰτίου, ἐν ᾧ εἴη τούτων ὁ λόγος ὁ ἀποχρῶν (Πρότ. Ζ΄. καὶ Η΄.)· ταῦτα δὲ τὰ ἐνδεχόμενα (ὁρ. ιζ΄.)· ἕπεται τὸ Β΄.

## Πρότ. ΙΓ΄.

„ Ἄπειρος ἐνδεχομένων σειρὰ ἄνευ ὄντος ἀναγκαίου, ἀφ' οὗ ᾖ ἀπηρτημέ-
„ να, ἐστὶν ἀδύνατος.

### Δεῖξις.

Παντὸς ἐνδεχομένου ὁ λόγος τῆς τε ὑπάρξεως καὶ οὐσίας ἐστὶν ἐν ἄλλῳ (Πρ. Η΄.). Ἁπάντων ἄρα. Ἀλλ' ἀναιρεθέντος τοῦ ἀναγκαίου ὄντος, ὁ λόγος οὗτος ἔσται ἐν μηδενὶ, ὡς δῆλον· οὐδεὶς ἄρα (Πρ. Ι΄.). Ὅπερ ἀντιφάσκει (Πρ. Ζ΄. καὶ Γ΄.).

### Σχόλιον.

Περιτρέπεται τοιγαροῦν ἡ Δημοκρίτειος εἱμαρμένη (ὁρ. νβ΄.). Ταύτητοι καὶ Ἀριστοτέλης σὺν ἄλλοις ἀντιφάσκειν ἀπεφήνατο τὴν ἐπ' ἄπειρον πρόοδον· καὶ τούτῳ μάλιστα τῷ λόγῳ ἐκεῖνος ἐχρήσατο, τὴν ὕπαρξιν τῆς πρωτίστης αἰτίας τῆς αἰωνίου καὶ ἀτρέπτου κατασκευάσας (1). Μέτιθι Κυδβόρθιον ἄριστα περὶ τούτου διαλεγόμενον (2).

## Πρότ. ΙΔ΄.

„ Τὸ ἀναγκαίαν ἔχον τὴν ὕπαρξιν, ἀναγκαίαν ἔχει καὶ τὴν οὐσίαν, ἤτοι
„ ἄτρεπτον (ὁρ. ιβ.).

(1) Βιβλ. Η΄. τῆς Φυσ. (2) Περὶ νοεροῦ Συστήμ.

## Σχόλιον.

Ἀξίωμα τυγχάνει κοινῇ πᾶσι τοῖς φιλοσοφοῦσι πρεσβευόμενον. Τῷ ὄντι δὲ τρεπτὸν ὄν, ἔχρηζεν ἂν καὶ τοῦ ἀπ' αἰῶνος συνέχοντος, ἀφ' οὗ καὶ ἀπήρτητο (ὁρ. νγ'.)· ὅπερ ἄτοπον. Ἐκ τούτου ἀνατρέπεται καὶ ἡ τοῦ Σπινόζου ἀλογία, τοῦ τὴν ἔκτασιν ἰδιάζειν τῷ Θεῷ διοριζομένου (1).

## Πρότ. ΙΕ'.

„Τὸ ἀναγκαῖον καθ' ὕπαρξιν καὶ κατ' οὐσίαν, ἀνάγκη καὶ ἀπειροτέλειον „εἶναι, ἤτοι πάσας τὰς δυνατὰς τελειότητας περιέχον. Καὶ ἀνάπαλιν.

## Δεῖξις.

Εἰ μὴ γάρ, δύναται περαιτέρω τελειωθῆναι, δυνάμει ἐσωτερικῶς, ἧπερ δῆλον· ἄρα καὶ τραπῆναι. Ἔστι δ' ἄτρεπτον (Πρ. ΙΔ'.)· ἄρα ἀπειροτέλειον, καὶ οὐχ ὅπως ἐπιτεταμένως, ἀλλὰ καὶ ἐκτεταμένως. Ο. Η. τὸ Α'. Τὸ δὲ Β'. οὐδὲ δείξεως ἐστὶ χρῇζον. Τίς γὰρ ὅλως νοῆσαι δύναιτο τὸ ἀπειροτέλειον ὄν, ἢ τρεπτὸν εἶναι, ἢ γεγονέναι;

## Πρότ. Ις'.

„Ἅπαντα τὰ ἐνδεχόμενα ἐστὶ τρεπτὰ καὶ ἀνάπαλιν.

## Δεῖξις.

Τὰ ἐνδεχόμενα οὐκ ἂν εἴη ἀπειροτέλεια (Πρ. ΙΕ'.). Τὸ δὲ μὴ ἀπειροτέλειον, ὥσπερ τελειωθῆναι περαιτέρω, οὕτωτοι καὶ τραπῆναι δύναται, δυνάμει τοὐλάχιστον ἐσωτερικῶς. Ο. Η. τὸ Α'. Εἶτα τὰ τρεπτὰ οὐκ ἔστιν ἀναγκαῖα (Πρ. ΙΔ'.). Τὸ δὲ μὴ ἀναγκαῖον, ἐνδεχόμενον (Πρ. ΙΑ'.). Ἄρα κτ.

## Σχόλιον.

Μέτιθι ἐν τῷ Τιμαίῳ τὸν Πλάτωνα. Κατ' αὐτὰ γοῦν καὶ τοῖς πατράσιν οἱ ἄγγελοι οὐ φύσει τῇ ἰδίᾳ, ἀλλὰ τῷ θείῳ θελήματι ἄτρεπτοι λέγονται εἶναι. Τὸ γὰρ ἀρχὴν ἔχον, καὶ τελευτῆσαι ἐξ ἰδίας φύσεως δύναται, φησὶν ὁ Δαμασκηνός (2). Ἀλλά, φασίν, αἱ ἁπλαῖ οὐσίαι εἰσὶν ἀδιάλυτοι. Ἀπαντῶμεν ἀδιαλύτους εἶναι, ταῖς φυσικαῖς δυνάμεσι ταῖς ἐν τῷ παντὶ παρατιθεμένους, οὐκοῦν ἀλλ' οὖν καὶ οἰκείᾳ φύσει. Ἐπειδὴ γὰρ οἰκείᾳ φύσει (ὡς ἡμεῖς μετὰ τῶν φιλοσόφων τῆς κρείττονος μοίρας πρεσβεύομεν) σύγκεινται ἐκ-

(1) Ἐν τῇ Ἠθ. μέρ. Β'. Προτ. Β'.

(2) Βιβλ. Β'. περὶ ὀρθ. πίσ. Κεφ. Γ'. Ὅρα καὶ Πετάβιον περὶ Ἀγγ. Βιβλ. Α'. Κεφ. Δ'. καὶ Ε'.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΥΘΥΝΗ ΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της ΚΠΤ ΙΩΑΝΝΙΝΑ 2006

τινος ὑποκειμένου, καὶ δυνάμεως ἐνεργητικῆς, οὐκ ἔστιν ἀπολύτως ἀναγκαῖον. τὴν δραστήριον δύναμιν τῷ ἀπλουστάτῳ ἐκείνῳ προσεπανήκειν, ἀλλ' ἐξ ὑποθέσεως μόνον τοῦ τὸν Θεὸν οὕτω βουληθῆναι.

## Πρότ. ΙΖ΄.

„Τὸ αἰώνιον ὂν ἐστὶν ἀπλούστατον.

### Δεῖξις.

Ἔστι γὰρ ἀναγκαῖον καθ' ὕπαρξιν (ὁρ. ια΄.), καὶ κατ' οὐσίαν (Πρ. ΙΔ΄.), ἤτοι ἄτρεπτον. Ἀλλὰ ἅπαν σύνθετον φύσει τρεπτὸν ἐστὶν, ἧπερ δῆλον. Τὸ ἄρα αἰώνιον οὐκ ἔστι σύνθετον. κτ:

Ἄλλως. Τὸ ἁπλοῦν καὶ συντιθὲν φύσει πρότερον τοῦ συνθέτου. Τοῦ δὲ αἰωνίου πρότερον οὐδέν. Ἄρα κτ:. Ἔνθεντοι καὶ Λουκρέτιος (1) οὐκ ἂν εἶεν, φησὶν, αἱ ἄτομοι ἀπ' αἰῶνος, εἴπερ ἦσαν σύνθετοι.

## Πρότ. ΙΗ΄.

„Ὄντα ἐνδεχόμενα ὑφέστηκε.

### Δεῖξις.

Ἅπαν ὂν τῶν ἐν τῷδε τῷ παντὶ ὑφεστώτων, ἢ ἀπειροτέλειον οὐκ ἔστιν, ἢ γοῦν σωματικὸν τυγχάνει καὶ ἀλλοιωτὸν, ὡς δῆλον. Ὑφέστηκεν ἄρα ὄντα ἐνδεχόμενα (Πρ. ΙΖ΄. Ιϛ΄. καὶ ΙΕ΄.).

### Σχόλιον.

Οὐδ' ἂν ὁ Σπινόζας ἔξαρνος γένοιτο, ὅτι καὶ αὐτὸς τὸν ἄνθρωπον μὴ ἀναγκαίαν τὴν ὕπαρξιν ὑπείληφε περιέχειν (2). Ὁ δὲ Πλάτων μᾶλλον μὴ ὄντα τὰ τοῦ παντὸς ἀποκαλεῖν ἔχαιρε (3).

## Πρότ. ΙΘ΄.

„Οὐσία αἰώνιος καὶ ἀσώματος ὑφέστηκε.

### Δεῖξις.

Ὑφέστηκεν ἐνδεχόμενα (Πρ. ΙΗ΄.). Ἄρα καὶ ἀναγκαῖον τὶ (Πρ. ΙΓ΄.), οὐχ ὅπως καθ' ὕπαρξιν, ἀλλὰ καὶ κατ' οὐσίαν (Πρ. ΙΔ΄.). Τοῦτο δὲ τυγχάνει ἀπλούστατον (Πρ. ΙΖ.). Ἄρα καὶ ἀσώματον. Ὑφέστηκεν ἄρα ὂν αἰώνιον καὶ ἀσώματον. Ἐπεὶ δὲ τοῦτο ὑπὸ μηδενός ἐστιν ἠρτημένον ἐσωτερικῶς (ὁρ. ια΄.), καὶ ἀληθὴς ἐστιν οὐσία (ὁρ. κα΄.). Ἄρα κτ:.

---

(1) Βιβλ. Α΄. Ἐπ. ξγ΄. (2) Ηθ. μέρ. Β΄. ἀξ. α΄. (3) Ἐν Θεαιτήτῳ Τιμαίῳ καὶ ἀλ.

ΕΡΓΑΣΤΗΡΙΟ ... ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ... ΔΙΕΥΘΥΝΤΗΣ ... ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ... ΙΩΑΝΝΙΝΑ 2006

## Σχόλιον.

Οὕτως ἐξ αὐτῶν βάθρων ὁ Ἀθεϊσμὸς, ϗ Πανθεϊσμὸς, ϗ τὸ τὰ πάντα ἔνυλα φρονεῖν ἀνατρέπεται. Καὶ καταγέλαστοι ἄρα ὅ,τε Ὡββέσιος, ὃς ἐν τῷ Λεβιαθὰν σωματικὸν εἶναι τὸ θεῖον ληρεῖ, ϗ ὁ Τολάνδος ὁ τὰς ἀσωμάτους οὐσίας ψιλὰ βουλόμενος εἶναι φαντάσματα, ϗ ὁ Σπινόζας ὁ ἀναποσπάστῳ συναφείᾳ συζεύξας τῇ νοήσει τὴν ἔκτασιν.

## Πρότ. Κ'.

„Τὰ ἐνδεχόμενα οὐκ ἂν εἶεν ἴδια, ἢ μέρη, ἢ τρόποι τῆς αἰωνίου καὶ ἀσωμάτου οὐσίας.

## Δεῖξις.

Ἔστι γὰρ ἐκείνη ἁπλουστάτη (Πρ. ΙΖ'.)· καὶ ἄτρεπτος (Πρ. ΙΔ'.)· τὰ δὲ ἐνδεχόμενα τρεπτά (Πρ. Ιϛ'.). Ἄλλως τε καὶ ἡ οὐσία ἐκείνη ἀπειροτέλειος (Πρ. ΙΕ'.)· τὰ δὲ ἐνδεχόμενα οὐχ οὕτως. Ἐξ οὗ ἕπεται τὰ τοῦ κόσμου μέρη, ἅπερ ὄντα ἐστὶν ἐνδεχόμενα (Πρ. ΙΗ'.), μηδαμῶς εἶναι μέρη τοῦ Θεοῦ, ὅπερ ὁ Σπινόζας σὺν Τολάνδῳ ἠσέβησε.

## Πρότ. ΚΑ'.

„Παρὰ τὴν αἰώνιον οὐσίαν ὑφέστηκε ϗ οὐσία δημιουργηθεῖσα.

## Δεῖξις.

Ὑφέστηκε γὰρ τὰ ἐνδεχόμενα (Πρ. ΙΗ'.). Τὰ δὲ οὔτε ἴδια, οὔτε μέρη, οὔτε τρόποι εἰσὶ τῆς αἰωνίου οὐσίας (Πρ. Κ'.). Ἀλλὰ τὰ ἴδια ϗ οἱ τρόποι ἄνευ οὐσίας οὐδαμῶς ὑφεστήκασιν (ὁρ. κβ'. ϗ ιδ'.). Ἆρ' οὖν ταῦτα δὴ τὰ ἐνδεχόμενα ἢ οὐσίαι εἰσὶν, ἢ οὐσίας δημιουργηθείσης τρόποι ϗ ἴδια.

## Σχόλιον.

Καὶ καθαιρεῖται ἄρα ἡ Σπινόζου Πρ. ϛ'. μέρ. Α'., ὅτι οὐσία οὐκ ἔχει παραχθῆναι ὑπὸ ἄλλης οὐσίας. Καὶ ἡ ΙΔ'. τοῦ αὐτοῦ μέρ. ὅτι παρὰ τὸν Θεὸν οὐδεμία ἄλλη οὐσία οὔτ' ἔστιν, οὔτε νοεῖται.

## Πρότ. ΚΒ'.

„Πᾶσα οὐσία ἐστὶν ἁπλῆ.

## Δεῖξις.

Ἡ οὐσία ὑπὸ μηδενὸς ἐσωτερικῶς ἤρτηται (ὁρ. κα'.). Τὰ δὲ σύνθετα ἤρτηται ἐσωτερικῶς ἀπὸ τῶν συντιθέντων ὡς δῆλον. Ἡ ἄρα οὐσία οὐκ ἂν εἴη σύνθετος φυσικῶς. Πᾶσα ἄρα κτλ.

ΙΩΑΝΝΙΝΑ 2006

## Σχόλιον.

Τοῦτο γέτοι θαυμασίως α'. παρατετήρηται Πλάτωνι, ϗ καθ' ἡμᾶς δέδεικται τῷ Οὐολφίῳ. Ἐξ οὗ δῆλον τὰ σώματα μὴ ἔχειν καλεῖσθαι παρὰ τῷ φιλοσόφῳ οὐσίας, ἀλλ' ἢ μόνον παρὰ τῷ ὄχλῳ. Τὰ τοίνυν σώματα, ἢ ἀθροίσματα ἐστὶν ἐξ ἁπλῶν οὐσιῶν συνιστάμενα, ὡς ἐδόκει ποτὲ Πυθαγόρᾳ, ϗ Λουκρετίῳ, ϗ καθ' ἡμᾶς Λεϊβνιτίῳ ϗ Οὐολφίῳ, οἳ ϗ Λουκρετίῳ ἐν τούτῳ διαπεφωνήκασιν, ὅτι ἐκτάσεως ϗ πηλικότητος ἀμοίρας τὰς οὐσίας ταύτας ἐτίθεντο· ἢ γοῦν ἡ τῶν σωμάτων οὐσία ἁπλῆ τις τυγχάνει ἔκτασις, ϗ ἀσώματος, ὅπερ ὑπετόπασε Λώκιος. Ἀλλ' οὐδὲν θαυμαστὸν, εἰ τὰς πρωτίστας τῶν σωμάτων ἀρχὰς μυωποῦντες οἱ ἄνθρωποι, ἀκραιφνῶς ἐφικέσθαι οὐκ ἔχουσι.

## Προτ. ΚΓ'.

„Ἡ οὐσία τῶν ἐνδεχομένων οὐκ ἔστι μία.

## Δεῖξις.

Πᾶσα γὰρ οὐσία ἁπλῆ (Πρ. ΚΒ'.), καὶ δὴ ϗ ἀδιαίρετος. Τὰ δὲ ἐνδεχόμενα ἀλλήλων ϗ διήρηται, ϗ διέζευκται, ὡς δῆλον. Ἄρα ἡ οὐσία κτ:.

## Σχόλιον.

Ἐξ ἀναριθμήτων ἄρα ἁπλῶν οὐσιῶν συνέστη τὰ σώματα.

## Προτάσεις αἱ ἐπὶ τὸ Β'. Κεφ. ἀναγόμεναι.

## Προτ. ΚΔ'.

„Ἡ σχέσις οὐδεμίαν πραγματιώδη τελειότητα τῷ ὄντι προσάπτει. Ἔ„στιν ἀξίωμα καθ' αὐτὸ δῆλον.

## Σχόλιον.

Τὸ αὐτὸ ἄρα ϗ πλειόνων δεκτικὸν γίγνεται σχέσεων. Τοῦ δὲ τῶν σχέσεων ἀριθμοῦ τῇ αὐξήσει, ἢ μειώσει, ἐκ τῆς μεταβολῆς τῶν πρὸς ἃ τὰς σχέσεις κέκτηται, οὐδεμία μεταβολὴ τῷ πράγματι ἐμποιεῖται, ἐφ' ᾧ ἐπιθεωροῦνται αἱ σχέσεις. Κἀντεῦθεν τὸ ἐν πολλαῖς ταῖς πρὸς τὰ κτίσματα σχέσεσι τοῦ Θεοῦ ἀναλλοίωτον.

## Προτ. ΚΕ'.

„Τὰ ὄντα μόνῃ τῇ σχέσει πραγματιωδῶς ἥκιστα διαιρεῖται.

## Δεῖξις.

Διαιρεῖται γὰρ πραγματιωδῶς, ἃ χωρὶς καὶ εἶναι, καὶ νοεῖσθαι δύναται

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

(ὅρ. λϛ'.)· τοῦτο δὲ ποιεῖν μόνη ἡ σχέσις οὐ πέφυκεν, οἷα δὴ μηδὲν πραγματιῶδες τῷ πράγματι προσανάπτουσα (Πρ. ΚΔ'.).

## Πρότ. Κϛ'.

„ Ἀδύνατον ἐστὶν ἐσωτερικῶς, τὰ ἴδια, ἢ τοὺς τρόπους ὑπάρχειν ἄνευ οὐσίας.

## Δεῖξις.

Ἀδύνατον ἐσωτερικῶς ἐστὶ τὸ τὰ ἀντιφάσκοντα περιέχον (ὅρ. θ'.)· ἀντιφάσει δὲ περιπίπτει τὰ ἴδια καὶ τοὺς τρόπους ὑπάρχειν ἄνευ οὐσίας, οὐσιῶδες ὂν τῷ τρόπῳ καὶ τῷ ἰδίῳ τῆς οὐσίας ἐσωτερικῶς ἀπηρτῆσθαι (ὅρ. κδ'. καὶ κβ'.). Εἰ δ' ὑπῆρχεν ἄνευ οὐσίας, ὑπὸ μηδενὸς ἂν ἐσωτερικῶς ἤρτηντο. Ἄρα κτ.

## Σχόλιον.

Ἀδύνατον ἄρα κίνησιν εἶναι ἄνευ τοῦ κινουμένου, καὶ σχῆμα ἄνευ ἐκτάσεως, καὶ ἔκτασιν ἄνευ τοῦ ἐκτεταμένου, καὶ ἐνέργειαν ἄνευ ἐνεργητικῆς ἀρχῆς κτ. Ἔστι δὲ ἔν τε τῇ Φυσιολογίᾳ, καὶ τῇ Μεταφυσικῇ τὸ ἀξίωμα τόδε ἀνυσιμώτατον.

## Πρότ. ΚΖ'.

Ἀδύνατον οὐκ ἔστιν οὐσίαν ὑπὸ οὐσίας παράγεσθαι.

## Δεῖξις.

Παρὰ τὴν αἰώνιον οὐσίαν ὑφέστηκε καὶ οὐσία δεδημιουργημένη (Πρ. ΚΑ'.). Ἡ δὲ οὐκ ἂν εἴη ἐκ τοῦ μηδενὸς (Πρ. Γ'.), οὐδὲ ἐξ ἐκείνου, ὅπερ οὐσία οὐκ ἔστιν ᾗ που δῆλον. Ἄρα ὑπὸ οὐσίας. Ἄρα κτ.

## Σχόλιον.

Ἡ ἄρα τοῦ Σπινόζου πρότασις (1), ὅτι οὐσία ὑπὸ οὐσίας οὐ δύναται παραχθῆναι, λαμπρῶς καθαιρεῖται.

## Πρότ. ΚΗ'.

„ Οὐσία ὑπὸ οὐσίας παραχθῆναι οὐ δύναται δι' οὐσιώδους προβλύσεως.

## Δεῖξις.

Ἡ γὰρ οὐσία Β δι' οὐσιώδους προβλύσεως ἀπὸ τῆς Γ προεκπηγάζουσα, ἔσται περιεχομένη εἰδικῶς ἐν τῇ Γ, ὡς δῆλον. Ἄρα ἡ οὐσία Β ἐσωτερικῶς ἤρτηται ἀπὸ τῆς Γ, καὶ ἐπομένως οὐκ ἔστιν οὐσία (ὅρ. κα'.), ἀλλ' ἢ τρόπος (ὅρ. κβ'.), ἢ ἴδιον οὐσιῶδες (ὅρ. κδ'.).

---

(1) Ἠθ. μέρ. Α'. Πρ. ϛ'.

## Σχόλιον.

Καὶ εὐλόγως ἄρα πανθεΐαν νοσεῖν λέγεται πᾶς, ὅστις δι' οὐσιώδους προβλύσεως τὸν κόσμον εἶναι ἀπὸ Θεοῦ πρεσβεύει. Πῶς γὰρ ἔσται τοῦτο; ἢ ὥσπερ ἐξ ἰδίας γαστρὸς τὸν ἱστὸν κυοφορεῖ ἡ ἀράχνη, οὕτως ὁ Θεὸς ἐκ τῆς οὐσίας αὐτοῦ τὸν κόσμον, ὅπερ ἦν τὸ Χαλδαίων δόγμα ποτὲ, ϗ ἤδη ϗ νῦν τὸ Περσῶν, ϗ Σιαμίων, ϗ Σινῶν εἶναι λέγεται (1), μηδὲν ἀπᾴδων τοῦ δυσσεβοῦς Σπινοζείου φρονήματος. Ἀλλὰ γὰρ τοῦτο ἀδύνατον ἔφθη δειχθῆναι.

## Πρότ. ΚΘ΄.

„ Αἱ ἐνδεχόμεναι οὐσίαι γεγόνασιν ἐκ τοῦ μηδενὸς ἑαυτῶν, ἢ λέ-
„ γειν σύνηθες, τουτέστιν ἐκ τοῦ μηδενὸς παρήχθησαν ὑπὸ ἄλλης οὐσίας, εἰ ϗ
„ τὴν ἐνέργειαν, ϗ τὸν τρόπον τῆς παραγωγῆς ἀγνοεῖν ὁμολογοῦμεν.

## Δεῖξις.

Αἱ οὐσίαι αὗται γεγόνασι (ὁρ. ιζ΄.), ϗ δῆθεν ὑπ' ἄλλης οὐσίας (Πρ. ΚΖ΄.), οὐχὶ δὲ δι' οὐσιώδους προβλύσεως (Πρ. ΚΗ΄.). Ἄρα ἐκ τοῦ μηδενὸς ἑαυτῶν. Ἤτοι οὐδέν ἐστι ταῖς οὐσίαις ταυταισὶν ἴδιον, τὸ ἐκτὸς τῆς αἰτίας, ὑφ' ἧς παρήχθησαν, ὑφεστὸς, πρὶν αὐτὰς δημιουργηθῆναι, οὐδέ τι πραγματιῶδες, ἐξ ἧς οὐσίας ὑπέστησαν, πρὸς αὐτὰς ἐξεπήγασε (Πρ. ΚΗ΄.). Ο. Η. τὸ Α΄.

Τὸ δὲ Β΄. κοινῇ οἱ πάντες ἀποδέχονται. Τοῖς μὲν γὰρ ἐκ Χριστιανῶν φιλοσοφοῦσιν ἡ ἐκ τοῦ μηδενὸς δημιουργεία τοῦ παντὸς ὡς μυστήριον τῇ διανοίᾳ γεραίρεται πάντῃ ἀνέφικτον. Οἱ δὲ ἐξ ἐθνῶν, ἐπεὶ νοῆσαι οὐκ ἴσχυσαν, τὰς μὲν ἀΰλους τῶν οὐσιῶν κατὰ πρόβλυσιν οὐσιώδη ἀπὸ Θεοῦ ἀποῤῥεῦσαι, τὴν δὲ ὕλην ἀπ' αἰῶνος εἶναι ἐτάξαντο. Ὅσοις δὲ ἀθεΐας τῷ ζόφῳ ἐκτετύφλωται ὁ νοῦς, παρὰ τὸ μὴ δυνηθῆναι τὴν ἐκ τοῦ μηδενὸς τῆς ὕλης παραγωγὴν συνιέναι, εἰς τοσοῦτον ἀτόπημα ἐκτραχηλισθέντες κατεβαραθρώθησαν. Ἀλλὰ θαυμαστὸν οὐδέν. Ἤδη γὰρ ἅπασι τυγχάνει καταφανὲς, ῥᾴδιον εἶναι γινώσκειν ὅτι ἐστὶν, ἢ ὅπως ϗ τί ἐστιν. Ἐκεῖνο μὲν γὰρ ἐξ ὁποιουοῦν αἰτίου, ἢ ἐνεργήματος αὐτίκα κατάδηλον. Τὸ δὲ ὅπως ἐστὶ πληρεστάτην προσαπαιτεῖ τὴν γνῶσιν τοῦ αἰτίου, ὑφ' οὗ ἔχει τὸ εἶναι, ὥσπερ ϗ τὸ τί ἐστι τῶν οὐσιωδῶν ἁπάντων, ἐξ ὧν συναρτύεται ϗ συνίσταται. Ἀλλὰ τί παρὰ τοῦτο; Ἡ τινὸς ἀληθοῦς ἄγνοια οὐκ ἀνατρέπει τὴν θατέρου ἐναργῆ ϗ εἰλικρινῆ κατανόησιν, ὥσπερ ϗ αὐτῷ τῷ Σπι-

(1) Ὅρα Βουργέτ. ἐν τῇ περιηγ. τόμ. Β΄. Σελ. 163. ϗ ἀλλ.

νόζα διωμολόγηται (1). Οὕτως οἶδε μὲν ὁ γεωμετρῶν, τέτταρσιν ὀρθαῖς γωνίαις τὸν κύκλον συνεξισοῦσθαι, ἀγνοεῖ μέντοι τίνι λόγῳ ὁ κύκλος τετραγωνίζεται (2).

## Πόρισμα Α'.

Ἐπεὶ τοίνυν ἡ ἐκ τοῦ μηδενὸς τῆς οὐσίας παραγωγὴ δυνάμει τελεῖται ἡμῖν ἀκατανοήτῳ (Πρ. ΚΘ'.), δικαίως ἂν ἡ τοιαύτη δύναμις νομίζοιτο ἄπειρος (ὁρ. ξ'.).

## Πόρισμα Β'.

Ἐπεὶ δ' οὔπω δῆλον τὴν τοσαύτην δύναμιν ταῖς ἐνδεχομέναις οὐσίαις προσήκειν, ἐξ ὧν τόδε τὸ πᾶν συνέστηκε, καὶ πρὸς τούτοις αἱ τῶν πραγμάτων γενέσεις δι' οὐσιώδεις ἀποτελοῦνται προβλύσεως, ἐκ τῶν ἰδίων ᾠῶν, ἢ σπερμάτων ἅπασαι, αἱ δὲ αὐξήσεις διὰ ποικίλων ἀλλοιώσεων καὶ προσθέσεων τῶν μερῶν τῶν σωμάτων, ἔνθεν τοι θετέον μηδεμίαν εἶναι ἐν τῇ φύσει γένεσιν οὐσιώδη, οἵαν οἱ Ἀριστοτέλειοι ὑπελάμβανον.

## Πρότ. Λ'.

„Οὐδεμία οὐσία φυσικῇ δυνάμει τραπῆναι εἰς τὸ μὴ ὂν δύναται.

## Σχόλιον.

Ἀξίωμα ἐστὶ τῶν γνωριμωτάτων, ὃ καὶ πολλοῖς ὁμοιχληθέσι λόγοις δεικνυσιν ὁ Λουκρέτιος (3). Ἀλλὰ καὶ αἱ ὁσημέραι τοῖς μηχανικῶς λεγομένοις φιλοσοφεῖν γινόμεναι πεῖραι (ὅρα Ῥωαὺλτ. φυσ. Κεφ. Θ'. §. 4. καὶ 5. καὶ Κεὶλ. καὶ ἄλλους) αὐτὸ τοῦτο προσεμπεδοῦσι, δύναμιν εἶναι ἐν τῇ φύσει δεικνύουσαι, ὑφ' ἧς εἰς πάνυ λεπτὰ μόρια τὰ σώματα διασκίδναται, οἵα ἡ τοῦ πυρὸς (4) μάλιστα· τοιαύτην δὲ, οἵαν εἰς τὸ μὴ ὂν, ἢ ἐπ' ἄπειρον διαιρεῖσθαι, οὐδεμίαν. Εἰσὶ γὰρ δηλονότι τεταγμένα τὰ διαιρέσεων ὅρια, ἅπερ οὐκ ἔστιν ὑπερβῆναι τὰς ἐν τῇ φύσει δυνάμεις. Ἄλλως γὰρ συνεταράττετο τὰ φυσικὰ πάντα, καὶ πολλὰ μὲν μηκέτι γεγονότα ὠπτάνετο ἂν, πολλὰ δὲ καὶ εἰς τὸ μὴ ὂν ᾤχετο, ὡς ἄριστα σεσημείωκεν ὁ Λουκρέτιος (5).

---

(1) Ἐν ταῖς μεταφ. διασκέψεσι.

(2) Ὅρα τὴν τέχ. τοῦ νοεῖν μέρ. Δ. Κεφ. Ζ. Ἀξ. Η'.

(3) Βιβλ. Α'. Ἔπει σιή. κξ:.

(4) Μουσχεμβ. Στοιχ. φυσικο-μαθημ. §. υά.

(5) Βιβλ. ἔπει 226.

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

## Πρότ. ΛΑ'.

„ Αἱ φυσικαὶ γενέσεις καὶ φθοραὶ διαθέσεις εἰσὶ ποικίλαι, καὶ διορισμοὶ „ παντοῖοι τῶν πρεσβυγενῶν οὐσιῶν κατὰ τοὺς νόμους τῆς φύσεως.

### Δεῖξις.

Αἱ γὰρ γενέσεις αὗται καὶ φθοραὶ οὐκ εἰσὶν ἐκ τοῦ μηδενὸς παραγωγαὶ (Πόρ. Β'. τῆς ΚΘ'.), οὐδὲ φθοραὶ εἰς τὸ μὴ ὄν (Πρ. Δ'.). Ἄρα εἰ μηδὲν ἄλλο λείπεται φάναι, διαθέσεις εἰσὶ τῶν πρεσβυγενῶν οὐσιῶν. Ὅτι δὲ κατὰ νόμους τῆς φύσεως ἐν ἄλλοις δειχθήσεται οἰκειότερον.

## Προτάσεις ἐπὶ τὸ Γ'. Κεφ. ἀναφερόμεναι.

## Πρότ. ΛΒ.

„ Μεταβαλλούσῃ τῇ οὐσίᾳ ἀνάγκη καὶ τὴν φύσιν συμμεταβάλλειν. Ἡ „ δὲ φύσις μεταβάλλουσα, τοῦ συμμεταβληθῆναι τὴν οὐσίαν λαμπρὸν τυγχά- „ νει τεκμήριον. Ὥσπερ δὴ καὶ φύσεως μεταβληθείσης ἤδη δεῖγμα σαφὲς, τὸ „ μὴ τὰ αὐτὰ ἀποτελέσματα ἐκ τοῦ αὐτοῦ πράγματος ἕπεσθαι.

### Σχόλιον.

Πρὸς τὰ τῶν σωμάτων αἴτια, καὶ τὰς τούτων δυνάμεις τεῖνει τἀξίωμα, δι' οὗ καὶ τὴν φύσιν τῶν τε ὀρυκτῶν, καὶ φυτῶν, καὶ φαρμάκων, καὶ τῶν ὁμοίων σταθμώμεθα. Ὃ δὲ περὶ τῆς μεταβολῆς τῶν οὐσιῶν φαμὲν, ἃς ἀτρέπτους ὁ κοινὸς βούλεται λόγος, νοητέον μὴ περὶ τῶν ἀρχετύπων (ὅρ. κη'.), ἀλλὰ περὶ τῶν ἐν πράγμασιν ὑφεστωσῶν· τούτων γὰρ ἐν διηνεκεῖ ῥοῇ οὐσῶν, ἐκεῖναι μόναι τὸ ἑδραῖον ἀεὶ καὶ ἄτρεπτον διασώζουσιν, ἃς μόνας, καὶ τῇ κλήσει τῆς οὐσίας ἐξῃρημένας, περισημαίνειν ἠξίου τὸ δόγμα τοῦ Πλάτωνος (1).

## Πρότ. ΛΓ'.

„ Αἱ τῶν πραγμάτων ἀρχέτυποι οὐσίαι αἱ νοηταὶ μεταβολῆς οἱασοῦν „ εἰσὶ κρείττονες· αἱ δὲ γεγονυῖαι μεταβληταί.

### Δεῖξις.

Ἐκεῖναι γὰρ ἐν τῷ δημιουργῷ νῷ περιέχονται (ὅρ. κη'.). Ἐπεὶ δ' ὁ νοῦς ἐκεῖνος αἰώνιος (ἐξ ὑποθ.) ὂν ἐστιν ἀναγκαῖον κατά τε ὕπαρξιν καὶ οὐσίαν (Πρ. ΙΔ'.), ἤτοι ἄτρεπτος (ὅρ. ιβ'.). Ἀλλ' ἔστιν ὂν ἁπλοῦν (Πρ. ΙΖ'.)· ὅ,τι ἄρα ἐν αὐτῷ ἐστὶν, οὖν ἐστὶν, αἰώνιόν τε καὶ ἄτρεπτον. Αἱ ἄρα οὐσίαι ἐκεῖναι ἄτρεπτοι. Ο. Η. τὸ Δ.

(1) Ἐν Τιμαίῳ.



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
Ε.Υ. ΙΩΑΝΝΙΝΑ 2006